www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΠΕΤΡΟΥ,

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΣΕΡΑΓΕΒΟ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1999 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΕΤΡΟΥ, ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΣΕΡΑΓΕΒΟ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια .*

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.*

Χριστωνύμων εὐφραίνονται,
αἱ χορεῖαι τὴν μνήμην σου,
ἐκτελοῦσαι Πέτρε θεομακάριστε·
σὺ γὰρ τῶν Σέρβων ἐδόξασας,
λαὸν θεοφίλητον
ὡς τοῦ Σάββα τοῦ κλεινοῦ,
ἱεράρχου γενόμενος,
ἰσοστάσιος·
καὶ φοινίξας ποδήρη ἱερέων,
τῷ τιμίῳ αἵματί σου,
νῦν τῷ Χριστῷ συμπαρίστασαι.

Κορυφαίου ὁμώνυμος,
Πέτρου ὤφθης τρισόλβιε,
Σεραγέβου κόσμημα καὶ ἐγκαύχημα,
διὰ σεπτῆς πολιτείας σου,
καὶ βίου θεόφρονος,
ὡς ποιμὴν ἀληθινός,
πρὸς ζωὴν τὴν αἰώνιον,
ποίμνην τέκνων σου,
ὁδηγήσας τῇ σύριγγι τῶν λόγων,
ἐξ ὧν δέχου τὰς αἰνέσεις,
ἱερομάρτυς μακάριε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐνδυθεὶς τὴν εὐσέβειαν,
ὡς πατρῷον κειμήλιον,
ταύτῃ κατεκόσμησας,
βίον ἅπαντα·
καὶ παιδευθεὶς τὰ ἁρμόδια,
ὡς λύχνος χριστόφωτος,
πλήθη ἔφανας πιστῶν,
ἐν Βοσνίᾳ τρισόλβιε
Πέτρε ἔνδοξε,
καὶ σταυρὸν μαρτυρίου ἀγαπήσας,
ἠξιώθης τοῦτον ἆραι,
ὡς τοῦ σοῦ γήρως ἐπίστεψιν.

Εὐπρεπείᾳ τῶν τρόπων σου,
τὴν ἀγάπην προέκρινας,
ὑπὲρ πάντα ἅγιε κατορθώματα,
διὸ ἠλέησας πένητας,
νοσοῦντας ἐστήριξας,
καὶ παιδίων ὀρφανῶν,
τὰς ἀνάγκας ἐπλήρωσας,
ὡς φιλόστοργος·
διὸ Πέτρε συνὼν τῇ Αὐταγάπῃ,
καθικέτευε δοθῆναι,
ἡμῖν ἀγάπην φιλόθεον.

Ψευδαδέλφων ὑπήνεγκας,
διωγμοὺς Πέτρε ἅγιε,
ὑποκρινομένων τὴν θεοσέβειαν,
καὶ ὡς κριὸς θείας ποίμνης σου,
ἐκ ταύτης ἀφῄρησαι
εἰς θυσίαν τῷ Χριστῷ,
Ὃν ἐκ βρέφους ἠγάπησας,
καὶ ἐπόθησας·
ὅθεν χαῖρε ἐν οἴκῳ τοῦ Κυρίου,
μετὰ θείων Πρεσβυτέρων,
Ἀποκαλύψεως ἔνδοξε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς φιλόπατρις πρόσδραμε,
καὶ φιλόψυχος πρέσβευε,
ὑπὲρ σῆς πατρίδος θεομακάριστε·
ἰδοὺ γὰρ νῦν τῆς κολάσεως,
δυνάμεις ἐπέδραμον,
ἀφανῖσαι ἐκ τῆς γῆς,
ταύτην Πέτρε μακάριε,
ὅτι ἵσταται,
ὥσπερ κάρφος ἐν ὄμμασιν ἀδίκων,
καὶ ἀλήθειαν μισούντων,
Ὀρθοδοξίας τὴν πάντιμον.

*Δόξα. Ἦχος πλ.β.*

Τῇ ἀληθείᾳ τῆς πίστεως ἐκ βρέφους συντραφείς,
καὶ τὴν Ὀρθοδοξίαν ὡς νύμφην τοῦ Θεοῦ ἀγαπήσας,
ταύτης ἀναδέδειξαι διὰ τὸν βίον σου,
Πέτρε ἀρχιεράρχης τίμιος·
ὡς ὁ Πρωτοκορυφαῖος δὲ ὡμολόγησας διὰ τοῦ μαρτυρίου,
ὅτι Χριστὸς ἐστὶν ἡ ἀλήθεια, ἡ ζωὴ καὶ τὸ φῶς τοῦ κόσμου,
τῆς δὲ Ἐκκλησίας οὐδέποτε κατισχύσουσιν αἱ πύλαι τοῦ ᾅδου.
Διὸ παμμακάριστε καὶ νέε ἱερομάρτυς,
πρέσβευε ὑπὲρ ἡμῶν τῶν τέκνων σου,
ὅπως ἐν ὑπομονῇ διαπλεύσωμεν τὴν θάλασσαν τοῦ βίου,
καὶ ἐν μετανοίᾳ ἀξιωθῶμεν,
τῆς μετὰ σοῦ αἰωνίου παραστάσεως.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον.*
*Ἀναγνώσματα ἱερομαρτυρικά.*
*Παροιμιῶν τὸ ἀνάγνωσμα*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. Οὐκ



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

### *Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

### *Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

*Ἦχος α΄.*

Ἀποστολικῶς περάσας τὸν βίον σου μακάριε,
μαρτυρικῇ θυσίᾳ ἐπεσφράγισας, τὴν πρὸς τὸν Κύριον ἀγάπην,
ἐξαρπασθεὶς τοῦ ποιμνίου σου·
καὶ τοῖς ἐμπαιγμοῖς τῶν ψευδαδέλφων διωκτῶν,
ἐπιχρώσας τὴν ἀρχιερατικὴν ἀμφίεσίν σου,
ἰσοστάσιος τῶν ἀπ᾽ αἰῶνος ἱερομαρτύρων Πέτρε γέγονας.
Διὸ αἰτοῦμέν σε, ἐπίχεε ἡμῖν οὐρανόθεν
τὴν εὐλογίαν τῶν ἁγίων εὐχῶν σου, πάτερ ἀεισέβαστε.

*Ἦχος β΄.*

Ὡς ὡραῖοι οἱ πόδες σου πάτερ Πέτρε·
ὡς ἐκαλλιώθη ὁ βίος σου
καὶ ὡς ὑπερευλογήθη ἡ θεάρεστος πολιτεία σουπ
ἐν πᾶσι γὰρ ἀνεπίληπτος ἀρχιερεὺς γεγονώς,
ἐσφράγισας τὴν διακονίαν σου τῇ μετοχῇ τοῦ μαρτυρίου,
καὶ ἣν ἠγάπησας αἱματοπότιστον Ἐκκλησίαν,
μεγάλως ἐχαροποίησας διὰ τῆς σῆς ἀθλήσεως·
ὅθεν ταύτης μνήσθητι δεόμεθα πολεμουμένης,
ἀλλὰ νικώσης ἀεὶ τὸν ἀρχέκακον.

*Ἦχος γ΄.*

Ὡς ἐπαφρίζοντα κύματα ψευδαδελφίας,
τοὺς ἐμπαιγμοὺς καὶ τὰς βασάνους τῶν Οὐστάσι πάτερ Πέτρε θεωρήσας,
ἄσειστος διέμεινας, εἰς τὴν ὁμολογίαν τῆς πίστεως·
καὶ μετασχὼν ἕως τέλους τοῦ ὀνειδισμοῦ τοῦ Χριστοῦ,
ἀνταναπλήρωσας Αὐτοῦ τὰ ὑστερήματα τοῦ πάθους ἐν τῇ σαρκί σου·
ὅθεν κατηξίωσαι ἱερομάρτυς κλεινέ,
τῆς δόξης ἣν χορηγεῖ ὁ Δεσπότης,
τοῖς βαστάσασιν εὐόρκως τῆς ἡμέρας τὸν ἀμπελωνικὸν κάματον.

*Ἦχος δ'.*

Μάρτυς πιστὸς ἐφάνης ἐν τῇ διακονίᾳ τοῦ λόγου,
ἀλλὰ καὶ τῇ τοῦ αἵματός σου χύσει,
ἰσότιμος ἐγένου τῶν πάλαι Μαρτύρων.
Γνοὺς γὰρ πάτερ Πέτρε, ὅτι οὐκ εἰσὶν ἄξια τὰ νῦν παθήματα
πρὸς τὴν μέλλουσαν ἡμῖν δόξαν ἀποκαλυφθῆναι,
ἀφόβως ὑπήνεγκας τὴν χλεύην τῶν διωκτῶν σου,
ἔχων πρὸ ὀμμάτων σου τὸν Σταυρὸν τοῦ Χριστοῦ,
ἀλλὰ καὶ τὴν τριήμερον Αὐτοῦ ᾿Ανάστασιν.
Ὅθεν ἱερομάρτυς ἔνδοξε, πρέσβευε τῷ Κυρίῳ,
καὶ ἡμᾶς καθ᾿ ὥραν συμμετέχειν Αὐτοῦ εὐαγγελικῶς,
διὰ τοῦ μαρτυρίου τῆς συνειδήσεως.

*Δόξα. Ἦχος πλ.α'.*

᾿Εμετρήθης δικαίως παρὰ Κυρίου Πέτρε ἅγιε,
ἐζυγίσθης ἀκριβῶς τὴν ἀγάπην,
καὶ εὑρέθης ὑπὲρ χρυσὸν ὄβρυζον δοκιμώτερος.
Τί με χωρίσει, ἔλεγες, τοῦ ἠγαπημένου μου Δεσπότου;
θλῖψις ἤ στενοχωρία, διωγμοὶ ἢ φυλακαί,
μαρτυρικὰ σκάμματα ἢ καὶ αὐτὸς ὁ θάνατος;
διὸ καὶ ἀνδρικῶς ἐνήθλησας γενναιόφρον ἱεράρχα,
κρεῖσσον λογισάμενος παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τῆς ᾿Ορθοδοξίας,
ἤ δουλεύειν τῇ πλάνῃ τῶν διωκόντων, ἐπ᾿ ἀπωλείᾳ ψυχῆς αἰωνίῳ.
Ὅθεν ψαλμικὴν στηλογραφίαν ὁμολογίας σε γινώσκοντες,
αἰτούμεθα τὰς ἁγίας σου εὐχάς, πρὸς τὸν Φιλάνθρωπον Κύριον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Μακαρίζομέν σε.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**
Στιχηρὰ προσόμοια.
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.*

Πέτραν τὸν Χριστὸν Πέτρε εὑρών,
ἔθηκας ζωῆς θεμελίους, ἐπὶ τὴν πίστιν Αὐτῷ,
σὺν ῾Αγίοις ἅπασιν, ὡς οἰκοδόμος σοφός·
καὶ λαμπρὸν ἀπετέλεσας, σαὐτὸν Πάτερ οἶκον,
ἔνθα ἐντεθρόνισται, Πνεῦμα τὸ Ἅγιον·
ὅθεν, ὑπηχήμασι τούτου, γέγονας πανεύηχος σάλπιγξ,
τῆς ᾿Ορθοδοξίας ἱερώτατε.

*Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...*

Σέρβων εὐσεβούντων ὁδηγός,
ὤφθης τρισμακάριε Πέτρε, ἱεραρχίας φαιδρόν,
ἐνδυθεὶς ἀμπέχωνον, καὶ βακτηρίαν λαβών,
τῆς ποιμάνσεως ἅγιε, ὡδήγησας πλήθη,
πρὸς Χριστοῦ ἐπίγνωσιν, καὶ πλουτισμὸν τῆς ζωῆς·
ἧς νῦν τῶν γερῶν ἀπολαύων, μνήσθητι ἡμῶν τῶν τιμώντων,
τὴν χαροποιὸν καὶ θείαν μνήμην σου.

*Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...*

Πέτρε ὡς ὁ Παῦλος τὸν σταυρόν,
τοῦ Κυρίου ὤμοις σου ἄρας, αὐτὸν ἠγάπησας,
καὶ αὐτῷ καθήλωσας, σὰ ἐννοήματα·
ἐν αὐτῷ καὶ κεκαύχησαι,
καὶ κλῆρόν σου ἔσχες, ὅτε ἐμαρτύρησας,
ἐκ τῶν Οὐστάσι φρικτῶς· ὅθεν, ἱκετεύομεν πόθῳ,
δίδαξον ἡμᾶς ἀγαπῆσαι, σταυρικῶς Δεσπότην τὸν φιλάνθρωπον.

*Δόξα. Ἦχος δ΄.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τοῦ Κυρίου πυθομένου σε, εἰ φιλεῖς με Πέτρε;
διὰ τῆς ἐθελοθύτου σου ὁλοκαυτώσεως,
δέδωκας τὴν ἀπόκρισιν μακάριε·
ἄριστα γὰρ ποιμάνας τὸν λαόν σου,
ἐν διδασκαλίᾳ θεοσόφῳ καὶ βίῳ σεμνότητος,
τούτῳ ὡς παρακαταθήκην αἰώνιον κατέλιπες πατρικῶς,
τὸ μηδενὸς πρὸ τῆς ἀγάπης τοῦ Θεοῦ ἐπιμελεῖσθαι.
Ὅθεν ἱερομάρτυς χριστόψυχε,
δίδου οὐρανόθεν τοῖς ἀνυμνοῦσί σε,
ἀείφλεκτον τοῦ Δεσπότου τὴν ἀγάπησιν.

Καὶ νῦν. Νεῦσον παρακλήσεσι.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*
Ποιμὴν χριστομίμητος
καὶ ἱεράρχης σεπτός,
Σεράγεβο γέγονας,
καὶ ἀποστόλων λαμπρόν,
ἐφάνης ἐκμίμημα·
ὅθεν Ἁγίων δήμοις,
συνετάγης τοῖς πάλαι,
καὶ διὰ αἵματός σου,
στέφος εἴληφας Πέτρε,
δοξάσας τὸν Δεσπότην σου,
Σέρβων ἀγλάϊσμα.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Εἰς τὴν α΄ στιχ. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Ἐνίκησας λαμπρῶς, τῶν μαρτύρων τὴν νίκην,
διὸ καὶ ἐντρυφᾷς τῆς ζωῆς ξύλου πάτερ,
τὸν δεύτερον θάνατον, μὴ πτοούμενος ἅγιε·
ὅθεν πρέσβευε, τῷ Ἀρχιμάρτυρι Πέτρε,

ὅπως ἄφθονον, χάριν παράσχῃ λαῷ σου,
καὶ νῦν κινδυνεύοντι.

*Δόξα. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.*

Ἐκύησας σαρκί, τὸν ὑπέρθεον Λόγον,
θεώσαντα Ἁγνή, τῶν βροτῶν τὴν οὐσίαν,
καὶ ἅπασι παρέχοντα, σωτηρίαν αἰώνιον,
τοῖς δοξάζουσι σὲ ἀληθῆ Θεοτόκον·
ἀλλὰ Δέσποινα, μὴ διαλίπῃς πρεσβεύειν,
ὑπὲρ τῶν ὑμνούντων σε.

*Εἰς τὴν β' στιχ. Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Λευκὰ ἱμάτια, Πέτρε ἐφόρεσας,
ὅτι ἐβάστασας, τὴν τοῦ Κυρίου σου,
ὁμολογίαν ἀληθῆ, ἐνώπιον ψευδαδέλφων·
ὅθεν καὶ σὸν ὄνομα, ζωῆς βίβλῳ ἐγγέγραπται,
κατὰ τὴν ἀγάπησιν, τοῦ Δεσπότου μακάριε,
καὶ γέγονας ὡς στύλος Σερβίᾳ,
ὑπὲρ αὐτῆς ἀεὶ δεόμενος.

*Δόξα. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.*

Τὴν νεκρωθεῖσάν μου, ψυχὴν τοῖς πάθεσι,
ζώωσον Πάναγνε, Κόρη Πανάμωμε,
ὡς παῤῥησίαν μητρικήν,
πρὸς τὸν Υἱόν σου ἔχουσα·
σὺ γὰρ μόνη ἔτεκες, ὑπὲρ νοῦν καὶ διάνοιαν,
Λόγον τὸν συνάναρχον, τῷ Πατρὶ καὶ τῷ Πνεύματι,
ζωὴν καὶ ἀφθαρσίαν τῷ κόσμῳ,
διδόντα ἀεὶ καὶ μέγα ἔλεος.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.*

Τὴν ψυχήν σου τέθυκας, ὑπὲρ ποιμνίου,
ὡς ποιμὴν χριστάρεστος, Πέτρε Σεράγεβο κλεινέ,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ νῦν πρεσβεύεις ἀείποτε,
Χριστῷ δοθῆναι,
εἰρήνην προβάτοις σου.

*Δόξα. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.*

Χαῖρε θρόνε πύρινε, τοῦ Βασιλέως,
καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς,
καὶ διανοίας λαμπρύνουσα,
τῶν ἀνυμνούντων,
σὲ Κόρη πανύμνητε.

Οἱ ᾽Αναβαθμοί· τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. ᾽Εκ νεότητος μου.

Προκείμενον· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχος· *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ...*

**Εὐαγγέλιον**, τὸ τοῦ ὄρθρου τῆς ιγ' Νοεμβρίου.

῾Ο Ν'. ᾽Ελέησόν με ὁ Θεός....

Δόξα. Ταῖς τοῦ ῾Ιεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β.

Στίχ. *᾽Ελέησόν με ὁ Θεός....*

῾Ομολογήσας Πέτρε ἀνδρικῶς, ἐνώπιον τυράννων, τὴν ὁμολογίαν τοῦ Χριστοῦ, καὶ ἐμπτυσμοὺς καὶ βασάνους ὑπομείνας, εἴληφας τὸ στέφος τῆς ζωῆς, ὑπὲρ ἡμῶν Χριστῷ δεόμενος ὡς φιλότεκνος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.

**῾Ο κανὼν τοῦ ἱερομάρτυρος, οὗ ἡ ἀκροστιχίς:**
*"Πέτρον ᾽Αρχιποιμένα τοῦ Σεραγέβου ᾄσω. ᾽Α(θανάσιος)".*

*᾽Ωιδὴ α'. Ἦχος δ'. ᾽Ανοίξω τὸ στόμα μου.*

Παράκλητε δέομαι,

μίαν ἀκτῖνα κατάπεμψον,
ψυχῇ τῇ ἀθλίᾳ μου,
ὅπως ὑμνήσω καλῶς,
Πέτρον ἅγιον,
Σεράγεβο ποιμένα,
γενναίως ἀθλήσαντα,
ἐσχάτοις ἔτεσι.

Ἐκ βρέφους ἐπόθησας,
τὸν Ἰησοῦν παμμακάριστε,
πλουτήσας εὐσέβειαν,
τὴν γονικὴν εὐλαβῶς·
ὅθεν εὕρηκας,
αὐλαῖς ταῖς τοῦ Δεσπότου,
στρουθὸς ὥσπερ ἔλλογος,
Πέτρε ἀνάπαυσιν.

Τὴν γνῶσιν τὴν ἔξωθεν,
τῇ εὐσεβείᾳ προσθέμενος,
καλῶς διηκόνησας,
τὴν Ἐκκλησίαν Χριστοῦ·
καὶ ἐπήρκεσας,
τοῖς πᾶσι θεαρέστως,
ἀγάπῃ φερόμενος,
Πέτρε θεόσοφε.

*Θεοτοκίον*

Ῥητόρων ἡττήθησαν,
κενολογίαι Θεόνυμφε,
μηδόλως δυνάμεναι,
κατανοῆσαι τὸ πῶς,
ὁ Ὑπέρθεος,
ἐσκήνωσε γαστρί σου,
γενόμενος ἄνθρωπος,
διὰ τὸν ἄνθρωπον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.*

Ὁ πόθος τῶν θείων μυστηρίων,
ἀπέσβεσε πόθον χοϊκῶν,
ἐκ σῆς καρδίας ἅγιε,
διὸ καὶ προετίμησας,
παρθένων Πέτρε ἄσκησιν,
διὰ Χριστὸν τὸν Νυμφίον σου.
Νικήσας παθῶν ἐπαναστάσεις,
ἐκάθηρας Πέτρε σεαυτόν,
ὡς τοῦ Θεοῦ ἀνάθημα,
καὶ οἶκον χριστοσκεύαστον·
διὸ καὶ σοὶ ἐσκήνωσεν,
ὁ Βασιλεὺς ὁ Παράκλητος.

Ἁγίων ζηλώσας πολιτείαν,
ἁγίως ἐβίωσας καὶ σύ,
σοφῶς ἐπιμελούμενος,
εὐχῆς καὶ κατανύξεως,
καὶ πάσης ἄλλης πράξεως,
δι᾽ ὧν Χριστῷ Πέτρε ἥνωσαι.

*Θεοτοκίον*

Ραθύμως παρέρχομαι τὸν βίον,
μηδόλως τὴν κρίσιν κατὰ νοῦν,
λαμβάνων Παναμώμητε,
καὶ τὴν φρικτὴν ἀπόφασιν·
διό μοι δὸς μετάνοιαν,
καὶ πεπραγμένων διόρθωσιν.

*Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.*

Τὸν χριστόψυχον Σάββαν ἐκμιμησάμενος,
λογικῶν σου προβάτων τὴν ποίμνην ἔθρεψας,
διδαχαῖς ταῖς ζωτικαῖς Πέτρε ἅγιε,
καὶ τὴν πίστιν ἀνδρικῶς, ὡμολόγησας σοφέ,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐνώπιον τῶν Οὐστάσι,
διὸ ἐστέφθης δικαίως,
παρὰ Κυρίου ᾿Αρχιμάρτυρος.

*Δόξα. καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*
Σὲ λιμένα καὶ τεῖχος καὶ καταφύγιον,
καὶ ἐλπίδα καὶ σκέπην καὶ προστασίαν θερμήν,
εὑρηκότες οἱ πιστοὶ πρὸς σὲ προστρέχομεν,
ἐκβοῶντες ἐκτενῶς, καὶ ἀνακράζοντες πιστῶς·
ἐλέησον Θεοτόκε, τοὺς ἐπὶ σοὶ πεποιθότας,
καὶ τῶν πταισμάτων ἀπάλλαξον.

*᾿Ωιδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Χρῖσμα ἅγιον ἐδέξω,
ἱερέων μακάριε,
θύων τὸν Δεσπότην,
Πέτρε εἰς ζωὴν τὴν αἰώνιον,
ἀγγελικῇ πολιτείᾳ ἐγκοσμούμενος,
καὶ δεόμενος,
ἐν κατανύξει καρδίας σου.

Ἵνα ῥύσῃ τὸν λαόν σου,
ἀπὸ πλάνης σκοτώσεως,
λόγοις ζωηφόροις,
Πέτρε ἐκατήχεις καὶ βίῳ σου,
ὅνπερ ὡς τύπον κατέχοντες ἄριστον,
ἐφωτίζοντο,
σοῦ ἐν χαρᾷ ὑπακούοντες.

Ποιμενάρχην θεοφόρον,
ὁ Χριστὸς σὲ ἀνέδειξε,
τὴν φιλαδελφίαν,
βλέπων καὶ ψυχῆς γενναιότητα,
δι᾿ ὧν ἐστήριξας Πέτρε τὴν ποίμνην σου,
κλονουμένην,
ἐκ καιρικῶν περιστάσεων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### Θεοτοκίον

Οὐρανῶν σε Πλατυτέραν,
καὶ τοῦ κόσμου κοσμήτριαν,
γνόντες σε Παρθένε,
πάντες ἐν χαρᾷ μεγαλύνομεν,
καὶ ἐκζητοῦμεν πρεσβεύειν πρὸς Κύριον,
ὅπως ρύσηται,
ἡμᾶς πυρὸς τῆς κολάσεως.

### ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἰσάξιος πέφυκας
Ἱεραρχῶν πανεύφημε,
Πέτρε Βασιλείων τε καὶ Σάββα,
ὅθεν λαόν σου τὸν πολυφίλητον,
ἤγαγες πρὸς γνῶσιν τοῦ Θεοῦ,
τῇ ἀγάπῃ χρώμενος,
ὡς Χριστοῦ ἀκριβὲς ἀποτύπωμα.

Μισῶν τὴν διαίρεσιν,
ἑνότητα ἠγάπησας,
Πέτρε καὶ ἐδίωξας ἐν πόθῳ,
πάντας εἰς τάξιν τῆς ἀδελφότητος,
τάττων θεϊκῇ ἐπιλογῇ,
βλέπων τὴν πρωτόκτιστον,
ἐν Ἐδὲμ φυσικὴν πανενότητα.

Ἐκόσμησας ἅγιε,
ναοὺς Θεοῦ ἐν χώρᾳ σου,
εἰς δοξολογίαν τοῦ Κυρίου·
ἀλλὰ κυρίως ἐμψύχους ἔδειξας,
ἐκκλησίας τέκνα σου πιστά,
ταῖς διδασκαλίαις σου,
ποιμενάρχα κλεινὲ καὶ φιλόψυχε.

*Θεοτοκίον*

Νοὸς μου τὸ ἄστατον,
συγκράτησον Πανάμωμε,
σαῖς πανευπροσδέκτοις ἱκεσίαις·
ἐγκαθιστῶσα τὴν ἀδιάλειπτον,
μνήμην τοῦ γλυκέος ᾿Ιησοῦ,
τὴν εἰρηνοπάροχον,
καὶ παντὸς ἀγαθοῦ τὴν γεννήτριαν.

*᾿Ωιδὴ Ϛ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.*

῾Αγιαζόμενος ἅγιε,
λαόν σου καθ᾿ ἡμέραν ἡγίαζες, θείαις ἐντεύξεσι,
καὶ πρὸς ζωῆς τὴν ἐπίτευξιν,
σοῖς λόγοις καθωδήγεις,
Πέτρε θεόσοφε.

Τηρῶν Πατέρων ἀκρίβειαν,
πατὴρ ἀληθινὸς Πέτρε δέδειξαι,
ταῖς ἐπαρχίαις σου, ἐπιμελούμενος ἄριστα,
πενήτων ἀδελφῶν σου,
διὰ τὸν Κύριον.

῾Οδὸν βαδίσας χριστόδεικτον,
εἰρήνης κήρυξ Πέτρε πανάριστε,
πέφυκας ἔνθεος,
ἥτις παρέχεται ἄνωθεν,
ἐκ τοῦ Εἰρηνοδότου, τοῖς καθαρεύουσι.

*Θεοτοκίον*

῾Υλώδεις μέριμναι Δέσποινα,
ψυχὴν μου τοῦ Δεσπότου χωρίζουσι,
ὅθεν αἰτοῦμαί σου,ταύτας μακρὰν ἀποδίωξον,
καὶ δός μοι ἐν καρδίᾳ, θείαν κατάνυξιν.

***Κοντάκιον. ῏Ηχος δ΄. ῾Ο ὑψωθείς.***

῾Υπενδυθεὶς ἀρχιερέως τὴν χλαῖναν,
᾿Αρχιερέα ἐμιμήθης τὸν μέγαν,
ἀράμενος ἐπ᾿ ὤμων σου σταυρὸν μαρτυρικόν·
ὅθεν ἐπεκύρωσας, τὴν ἀγάπην σου Πέτρε,
ὥσπερ ὁ συνώνυμος, Μαθητὴς ἐναθλήσας,
καὶ ᾿Εκκλησίας γέγονας θερμός,
πρὸς τὸν Δεσπότην,
ἱκέτης τρισόλβιε.

***῾Ο Οἶκος***

Χρυσοῦν κανόνα ἔχων σου Πέτρε ὁμολογίαν,
ἣν ὁ συνώνυμος ποτὲ μαθητὴς ἐποιήσατο,
τὸ· σὺ Υἱὸς εἶ τοῦ Θεοῦ, Χριστῷ ἀναβοήσας,
τούτῳ τοὺς θεμελίους σου ἔπηξας τῆς πίστεως.
῞Οθεν ποιμεναρχίας τὴν ῥάβδον ὡς ὑπεράξιος λαβών,
εἰς χλόην καὶ πηγὴν ζωῆς τὰ τέκνα σου ὡδήγησας·
καιροῦ δὲ ἐπιστάντος πολλὰς βασάνους ὑπομείνας
παρὰ τῶν ψευδοσχήμων Οὐστάσι,
ἐπορφύρωσας τὴν ἀρχιερωσύνην τῷ σεπτῷ αἵματί σου,
καὶ νῦν ἑστὼς παρὰ τῷ θρόνῳ τῆς παναγίας Τριάδος,
λαοῦ καὶ ποίμνης γέγονας θερμός,
ἱκέτης τρισόλβιε.

***Τὸ Συναξάριον***

**Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου καὶ ἐνδόξου νέου ἱερομάρτυρος Πέτρου, γενομένου πρῶτον ἐπισκόπου Ζαχουμίου καὶ ᾿Ερζεγοβίνης, εἶτα δὲ ἀναδειχθέντος Μητροπολίτου Σεραγέβου, τῆς κατὰ Σερβίαν ἁγιωτάτης ᾿Ορθοδόξου ᾿Εκκλησίας.**

*Στίχοι*

*Πέτρᾳ συνήφθης τῇ ἀσαλεύτῳ Πέτρε,*
*ποιμὴν κάλλιστος Καλοῦ ᾿Αρχιποιμένος.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠιδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Στήλη πάμφωτος,
ἐγένου τῷ ποιμνίῳ σου,
καθοδηγήσας αὐτό,
ἐκ γῆς πρὸς τὸν οὐρανόν,
καὶ πείσας πορεύεσθαι,
κατὰ τὸν νόμον Χριστοῦ,
Ὃν ἐδόξασας,
τῷ βίῳ τῷ ἐνθέῳ σου,
ποιμενάρχα Ζαχουμίου.
Ἐδικαίωσας,
τὰς προσδοκίας Ἅγιε,
τῆς Ἐκκλησίας Χριστοῦ,
τοῖς ἴχνεσιν πορευθείς,
σεπτῶν Ἀποστόλων τε,
ἱεραρχῶν εὐκλεῶν,
καὶ ἐστήριξας,
τῇ ῥάβδῳ τῆς ἀγάπης σου,
κλονουμένων τὰς καρδίας.

Ῥητορεύουσι,
τὸν ζῆλόν σου μακάριε,
ὑπὲρ τῆς δόξης Χριστοῦ,
ναοὶ οἱ περικαλλεῖς,
ἐκ βάθρων οὓς ἤγειρας,
ἐπιστασίᾳ σου,
καὶ κηρύττουσι,
τὸ τῆς ψυχῆς φιλάδελφον,
τὰ λοιπὰ σου Πέτρε ἔργα.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Ἀδιόρθωτος,
ὑπάρχων Παναμώμητε,
ἐκ τῆς σκληρότητος,
ἁμαρτωλῆς μου ψυχῆς,
κραυγάζω σοι· σῶσόν με,
Μῆτερ τοῦ Πλάστου μου,
χορηγοῦσά μοι,
μετάνοιαν καὶ δάκρυα,
ὅπως πλύνω μου τὰς πράξεις.

*Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.*

Γῆρας συνηρμόσθη τὸ σεμνόν σου,
τοῖς γέρασι πάθους τοῦ σεπτοῦ,
ὦ Πέτρε παμμακάριστε,
καὶ ἕνα ἀπετέλεσαν,
λαμπρὸν Κυρίου ἄγαλμα,
ἐξ Οὗ ἐστέφθης λαμπρῶς,
γενόμενος,
συνέστιος θεῖος,
Ἱερομαρτύρων,
εἰς πάντας τοὺς αἰῶνας.

Ἔθυσας σαὐτὸν ὡς ἱερεῖον,
καὶ κάρπωμα Πέτρε λογικόν,
τηρήσας τὴν ἀκρίβειαν,
τῆς Ὀρθοδόξου πίστεως,
καὶ ταύτην ὡμολόγησας,
πρὸ διωκτῶν ἀπηνῶν,
ὡς ἄκακον,
ἀρνίον Κυρίου·
ὅθεν ἀναπαύῃ,
εἰς πάντας τοὺς αἰῶνας.

Βέβηλοί σε χεῖρες τῶν Οὐστάσι,

ἐξήρπασαν μέγαν ὡς κριόν,
ἐκ ποίμνης σου μακάριε,
καὶ ταύτην ἀπωρφάνισαν,
δοκοῦντες οἱ πανάθλιοι,
δόξαν προσφέρειν Θεῷ,
Ὃς εὔοσμον
θυσίαν ἐδέχθη,
σῶν αἱμάτων χύσιν,
ὦ Πέτρε ἱεράρχα.

*Θεοτοκίον*

Ὅταν ἔλθῃ Μῆτερ ὁ Υἱός σου,
τοῦ κρῖναι δικαίως πᾶσαν γῆν,
τότε μὴ ἐπιλάθῃ μου,
ἀλλ᾽ αἴτησαι δοθῆναί μοι,
συγχώρησιν πταισμάτων μου
καὶ τῶν παντοίων κακῶν,
ἃ ἔπραξα,
καὶ πράττω ὁ τάλας,
οὐδαμῶς λαμβάνων,
εἰς νοῦν ἐσχάτην κρίσιν.

*Ὠιδὴ θ΄. Ἅπας γηγενής.*

Ἄγγελος Θεοῦ,
ἐδείχθης Σεράγεβο,
Πέτρε πανθαύμαστε,
ἔτι ἐν τῷ σώματι·
καὶ νῦν ὑψόθεν ἐπιμελούμενος,
τῆς ποίμνης καὶ τῶν τέκνων σου,
ὡς παρεστὼς τῷ Χριστῷ,
καὶ σημεῖα Τούτῳ ἐνδεικνύμενος,
μαρτυρίων φρικτῶν ἃ ὑπήνεγκας.

Στῆθι ἐς ἀεί,
μεσίτης καὶ πρόμαχος,

ὑπὲρ Πατρίδος ἡμῶν,
Πέτρε χριστοφίλητε,
καὶ τὴν εἰρήνην εὐχαῖς σου πάρεχε,
ὅπως Θεοῦ ἐντάλματα τηροῦντες ἅπαντα,
Βασιλείαν εὕρωμεν τὴν ἄσειστον,
καὶ Χριστὸν τὸν γλυκὺν ἐποψώμεθα.

Ὥριμος καρπός,
καθάπερ συγκέκλεισαι,
τῇ ἀποθήκῃ Χριστοῦ,
Πέτρε ἀξιάγαστε,
διὰ βασάνων πολλῶν καὶ θλίψεων,
ἀλλὰ νῦν χαίρων ἄληκτα,
ἡμῶν μνημόνευε,
τῶν σῶν τέκνων,
πάτερ ὡς φιλότεκνος,
καὶ εὐχὰς τὰς ἁγίας σου ἔκχεε.

*Θεοτοκίον*

Ἄνασσα Σεμνή,
λαόν σου Ὀρθόδοξον Σέρβων εὐλόγησον,
καὶ πταισμάτων ἄφεσιν,
παρὰ Κυρίου αἴτει ὡς εὔσπλαγχνος,
συμπρεσβευτήν σου ἔχουσα,
Πέτρον Σεράγεβο,
ποιμενάρχην καὶ ἱερομάρτυρα,
οὗ τὴν μνήμην φαιδρῶς ἑορτάζομεν.

**Ἐξαποστειλάριον**

*Ἦχος Β'. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Πέτρα στεῤῥὰ τῆς πίστεως,
καὶ τῆς ὁμολογίας,
ὤφθης ὦ Πέτρε ἔνδοξε,
πρόεδρε Σεραγέβου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μαρτύρων δόξα καὶ κλέος,
ἐπισκόπων λαμπρότης,
ἐν τοῖς ἐσχάτοις ἔτεσι
ὑπὸ τῶν ψευδαδέλφων,
πολλὰ παθών·
ὅθεν χεῖρας ἔκτεινον τῷ Δεσπότῃ,
ὑπὲρ Σερβίας ἅγιε,
σῆς πατρίδος φιλτάτης.

*Θεοτοκίον*

Τιμιωτέρα πέφυκας,
Χερουβὶμ τῶν ἐνδόξων,
καὶ Σεραφὶμ Πανύμνητε,
τῶν φρικτῶν ἀσυγκρίτως,
ἐνδοξοτέρα καὶ πάντων,
τῶν ἁγίων ᾿Αγγέλων,
ἁγιωτέρα Πάναγνε,
τὸν γὰρ Κτίστην τῶν ὅλων,
σωματικῶς,
ἀποῤῥήτως τέτοκας Θεοτόκε·
῞Ον αἴτησαι τοῖς δούλοις σου,
λύτρον δοῦναι πταισμάτων.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

῾Η τοῦ Χριστοῦ ᾿Εκκλησία,
φαιδρῶς ἑόρτασον,
ἔχεις γὰρ νέον Πέτρον,
ἐν χοροῖς τῶν ῾Αγίων,
ποιμένα γεγονότα
Σέρβων πιστῶν,
καὶ μαρτύρων συνόμιλον,

θερμὸν δὲ πρέσβυν ὑψοῦντα χεῖρας Θεῷ,
ὑπὲρ ποίμνης ἣν ἀγάπησε.

Πτωχοὺς ἠγάπησας πάτερ,
ὥσπερ τὸν Κύριον,
καὶ ὀρφανοῖς ἐγένου,
κηδεμὼν καὶ προστάτης·
ναούς τε τῷ Δεσπότη περικαλλεῖς,
ἐκ ψυχῆς προσενήνοχας,
τῶν δὲ πιστῶν τὰς καρδίας ἐπιμελῶς,
πρὸς εὐσέβειαν ὡδήγησας.

Ὀρθοδοξίας τηρήσας,
τὰ θεῖα δόγματα,
καὶ τούτοις πάτερ Πέτρε,
συντραφεὶς ἀπὸ βρέφους,
ἐνώπιον κηρύξας
σῶν διωκτῶν,
μάρτυς ὤφθης περίδοξος,
καὶ Βασιλείας ἐπέτυχες οὐρανῶν,
δι᾽ αἱμάτων ἅπερ ἔδωκας.

Τὸν Πρωτομάρτυρα πάτερ,
καλῶς μιμούμενος,
ἠγάπησας τὸν πέλας,
ὡς εἰκόνα Κυρίου·
ἀλλ᾽ ὅμως ἐκ φορούντων ἀλωπεκῆν,
εὐσεβείας ἀπείληφας,
σφοδρὰς βασάνους καὶ θάνατον ἐν Χριστῷ,
Σεραγέβου Πέτρε ἔνδοξε.

*Δόξα. Ἦχος πλ.δ΄.*

Ἀρχιτεκτονήσας σοφῶς,
τὸν τῆς ψυχῆς σου οἶκον,
ὅλος ἐπλήσθης τῆς χάριτος τοῦ Δεσπότου,
Πέτρε ἀξιομακάριστε·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τῶν πάλαι ἁγίων πιστῶς βαδίσας τὴν ὁδόν,
ἦρας ἄχρι τέλους ἑκουσίως τὸν σταυρὸν τοῦ μαρτυρίου,
σύμμορφος γενόμενος τῶν πεπελεκισμένων
διὰ τὴν ἀγάπην τοῦ ἐσφαγμένου Ἀρνίου.
Οὗ τῆς εὐφραντικῆς ὄψεως,
καὶ ἡμᾶς ἀξίωσον ταῖς πρεσβείαις σου,
ὡς πατὴρ φιλότεκνος καὶ εὐπάρεδρος.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

*Μεγαλυνάριον*

Τὴν ἀνδρείαν Πέτρου ἐκμιμηθείς, Πέτρε Σεραγέβου, ἱεράρχα καὶ ἀθλητά, διὰ μαρτυρίου, ὑπὸ δεινῶν Οὐστάσι, λαοῦ σου μέγας πρέσβυς, ὤφθης πρὸς Κύριον.

*Στίχοι*

*Ὀρθοδοξίᾳ στήριξον τὴν Σερβίαν,*
*ἱερομάρτυς Πέτρε τοῦ Σεραγέβου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ